## 27. THE HEALING OF A LEPER (Matt-Mk Identicals))

| Matt 8:1-4 | Mark 1:40-45 |
|---|---|
| Καταβάντος δὲ αὐτοῦ ἀπὸ | |
| τοῦ ὄρους ἠκολούθησαν αὐτῷ | |
| ὄχλοι πολλοί. | |
| 2 καὶ ἰδοὺ | Καὶ |
| λεπρὸς προσελθὼν | ἔρχεται πρὸς αὐτὸν λεπρὸς |
| | |
| προσεκύνει αὐτῷ | παρακαλῶν αὐτὸν καὶ γονυπετῶν |
| λέγων, | καὶ λέγων αὐτῷ |
| Κύριε, ἐὰν θέλῃς | ὅτι Ἐὰν θέλῃς |
| δύνασαί με καθαρίσαι. | δύνασαί με καθαρίσαι. |
| 3 καὶ | 41 καὶ σπλαγχνισθεὶς |
| ἐκτείνας τὴν χεῖρα | ἐκτείνας τὴν χεῖρα |
| ἥψατο αὐτοῦ | αὐτοῦ ἥψατο |
| λέγων, | καὶ λέγει αὐτῷ, |
| Θέλω, καθαρίσθητι· | Θέλω, καθαρίσθητι· |
| καὶ εὐθέως | 42 καὶ εὐθὺς |
| | ἀπῆλθεν ἀπ  αὐτοῦ ἡ λέπρα, |
| ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. | καὶ ἐκαθαρίσθη. |
| | 43 καὶ ἐμβριμησάμενος αὐτῷ |
| | εὐθὺς ἐξέβαλεν αὐτόν, |
| 4 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, | 44 καὶ λέγει αὐτῷ, |
| Ὅρα μηδενὶ εἴπῃς, | Ὅρα μηδενὶ μηδὲν εἴπῃς, |
| ἀλλὰ ὕπαγε | ἀλλὰ ὕπαγε |
| σεαυτὸν δεῖξον τῷ ἱερεῖ, | σεαυτὸν δεῖξον τῷ ἱερεῖ |
| καὶ προσένεγκον | καὶ προσένεγκε |
| τὸ δῶρον | περὶ τοῦ καθαρισμοῦ σου |
| ὃ προσέταξεν Μωϋσῆς, | ἃ προσέταξεν Μωϋσῆς, |
| εἰς μαρτύριον αὐτοῖς. | εἰς μαρτύριον αὐτοῖς. |
| | 45 ὁ δὲ ἐξελθὼν ἤρξατο |
| | κηρύσσειν πολλὰ |
| | καὶ διαφημίζειν τὸν λόγον, |
| | ὥστε μηκέτι αὐτὸν δύνασθαι |
| | φανερῶς εἰς πόλιν εἰσελθεῖν, |
| | ἀλλ  ἔξω |

| Matt 8:1-4 | Mark 1:40-45 |
| --- | --- |
| | *ἐπ  ἐρήμοις τόποις ἦν·* |
| | *καὶ ἤρχοντο πρὸς αὐτὸν πάντοθεν.* |

72 words out of 160 words = 45%